ἀντὶ τοῦ πτερὰ τῷ μάστιγι παρέλαβεν. ἴσως δὲ διπλῆ ἦν. Οὐκ ἀπολιβάξεις] συντόμως ἀναχωρήσεις. λιβὰς γὰρ ἡ σταγών. ἧς οὐδὲν ταχύτερον ἐν τῷ πίπτειν. ἢ οὐκ ἐς κόρακας εἰς Λιβύην ἀποφθερῇ. Στρεψοδικοπανουργίαν.] δι-

A χῶς. στρουθοδικοπανουργίαν. ἀναχωρήσαντος δὲ αὐτοῦ τοῦτό φησι. συνέθηκε δὲ τὴν λέξιν παρὰ τὸ στρεβλὸν ἦθος καὶ συκοφαντικὸν καὶ τὴν δίκην, καὶ τὴν πανουργίαν.

## ΣΤΡΟΦΗ

*κώλων ιγʹ.*

Χο. Πολλὰ δὴ καὶ καινὰ καὶ θαυ-
Μάστ᾽ ἐπετόμεσθα.
Καὶ δεινὰ πράγματ᾽ εἴδομεν.
Ἔστι γὰρ δένδρον πεφυκός
Ἔκτοπόν τι καρδίας
Ἀπωτέρω Κλεώνυμος.
Χρήσιμον μὲν οὐδέν, ἄλ-
Λως δὲ δειλόν, καὶ μέγα.
Τοῦτο μὲν ἦρος ἀεὶ
Βλαστάνει καὶ συκοφαντεῖ.
Τοῦ δὲ χειμῶνος πάλιν
Τὰς ἀσπίδας φυλλορροεῖ.

## VERSIO membrorum tredecim.

B CHO. *Multa iam & noua & admi-*
*Rabilia volabamus,*
*Et graues res vidimus.*
*Est enim arbor nata,*
*Magna quædam cardia*
*Longè Cleonymus.*
*Vtilis quidem nihil, a-*
*Liter autem timida & magna,*
C *Hæc quidem vere semper*
*Pullulat*
*Et calumniatur,*
*Hyeme autem iterum*
*Scuta folijs fluere facit.*

Σχόλια. Πολλὰ δὴ καὶ καινά.] ἡ στροφὴ αὕτη κώλων ἐστὶ τροχαϊκῶν καὶ ἰαμβικῶν ιγ. καὶ ἡ ἀντιστροφὴ τοσούτων. καὶ ἰαμβικὰ μὲν δίμετρα τὰ στιβ. τὰ δὲ ἄλλα τροχαϊκά, τὰ μὲν δίμετρα, τὰ δὲ Εὐελπίδεια. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς κορωνίς. τὸ δὲ ἑξῆς ἐπτήμεν εἰς πολλά. καὶ παράδοξα εἴδομεν καὶ θαυμάσια. βούλεται δὲ κωμῳδῆσαί τινας. Ἔστι γὰρ δένδρον πεφυκός.] δένδρῳ αὐτὸν ἀπεικάζει. ἢ ὡς μέγαν. ἢ ὡς ἀναίσθητον καὶ ξύλινον. ὡς ὁ ποιητής. ἀλλ᾽ ὥστε στήλη καὶ δένδρον ὑψιπέτηλον. ἔπαιξε δὲ ὡς ἐπὶ ὀρνίθων πετομένων τὰ δένδρα. εἶτα διηγούμενος ποῖον ἔκτοπον εἶδεν ὄρνιν, ἐπάγει τὸν Κλεώνυμον. καρδίας δὲ ἀπωτέρω, ὡς ἄν τις εἴποι μικρὸν ἀπωτέρω πόλεως. ἅμα δὲ εἰς τὸ ἀκάρ- D

διον καὶ ἀνόητον αὐτοῦ. Καρδίας ἀπωτέρω] διὰ τὸ μακρὸν εἶναι καὶ δειλόν. ἅμα δὲ Καρδία ἐστὶν ὄνομα πόλεως. μιμεῖται οὖν τὴν ὑποθεσίαν. ἢ καὶ ὡς ξένον αὐτὸν κωμῳδεῖ. Καρδία γὰρ πόλις Θρᾴκης. ἧς οἱ πολῖται Καρδιανοί. εἰς τὸ αὐτό. καρδίας ἀπωτέρω. διὰ τὸ μακρὸν εἶναι καὶ δειλόν. ὅτι ἐν μὲν τῇ εἰρήνῃ μέγας καὶ λαμπρός. ἐν δὲ τῷ πολέμῳ ῥίψασπις. διὸ καὶ καρδίας αὐτὸν εἶπεν ἀπωτέρω. τουτέστιν οὐκ ἔχει καρδίαν. Τοῦτο μὲν ἦρος] τῷ γὰρ Μουνιχιῶνι μηνὶ τοῦ ἔαρος δικάζονται αἱ πρὸς τοὺς ξένους δίκαι. Τοῦ δὲ χειμῶνος] ὅτι ἔν τισι τὰ δύο κῶλα ἕν ἐστι. λέγω ἀπὸ τοῦτο δὲ χειμῶνος, ἕως τοῦ φυλλορροεῖ. ἐπεὶ δὲ ῥίψασπις ἦν ὁ Κλεώνυμος, ἔπαιξε πάλιν. ἐπεὶ τὰ δένδρα φυλορροοῦσιν. E

## ΑΝΤΙΣΤΡΟΦΗ

*κώλων ιβʹ.*

Ἔστι δ᾽ αὖ χώρα πρὸς αὐτῷ
Τῷ σκότῳ πόῤῥω τις ἐν
Τῇ λύχνων ἐρημίᾳ.
Ἔνθα τοῖς ἥρωσιν ἄνθρω-
Ποι συναριστῶσι. καὶ
Ξυνεισι, πλὴν τῆς ἑσπέρας.
Τηνικαῦτα δ᾽ οὐκέτ᾽ ἦν
Ἀσφαλὲς ξυντυγχάνειν.
Εἰ γὰρ ἐντύχοι τις ἥρῳ
Τῶν βροτῶν νύκτωρ Ὀρέστῃ,
Γυμνὸς ἦν πληγεὶς ὑπ᾽ αὐ-
Τοῦ πάντα τὰ πιδέξια.

## CONVERSIO MEMbrorum duodecim.

*Est autem rursus regio ad ipsam*
*Tenebram, longè aliqua in*
F *Lucernarum solitudine,*
*Vbi heroibus, homini-*
*Bus cùm cœnant, &*
*Simul sunt præter vesperam.*
*Tunc autem non amplius erat*
*Tutum simul obuiare,*
*Si enim obuiasset aliquis heroi*
*Hominum nocte Oresti,*
G *Nudus erat percussus ab i-*
*Pso omnibus aptis.*

Σχόλια. Ἔνθα τοῖς ἥρωσι.] διὰ τὸ ὄνομα αὐτόν φησι τοῖς ἥρωσι συνδιάγειν. Ξυνεισι πλὴν τῆς ἑσπέρας.] ἀντὶ τοῦ τῇ σκοτίᾳ, πέπαικται ἀπὸ τοῦ Σκυθῶν ἐρημίᾳ. χαριέντως δὲ τοῦτο ὅτι σκότους, Ὀρέστης ὁ Τιμοκράτους λωποδυτεῖ τοὺς προστυγχάνοντας. τὰς νύκτας γὰρ μόνας ἐλῄ-

στευεν Ὀρέστης. Εἰ γὰρ ἐντύχοι τις ἥρωι] ἥρωα αὐτὸν φησὶ διὰ τὴν ὁμωνυμίαν τὴν πρὸς τὸν Ἀγαμέμνονος υἱὸν Ὀρέστην. ἥρωες δὲ δύσοργοι καὶ χαλεποὶ τοῖς ἐμπελάζουσι γίνονται, καθάπερ Μένανδρος ἐν Συνεφήβοις. ὅτι ἀγαθὸν γάμον χειμῶνος ὁ θεὸς δίδωσιν. οὐδ᾽ ἥρωες κεῖς τῷ-